www.e-rara.ch

# Georgii Buchanani Scoti poetae eximii Franciscanus & fratres, quibus accessere varia eiusdem & aliorum poëmata quorum & titulos & nomina XVI. indicabit pagina

## Buchanan, George

## Basileae Rauracorum, [1568]


## Universitätsbibliothek Basel

Persistent Link: https://doi.org/10.3931/e-rara-245


Simōnidou iamboi [= Simonidis iambi]


**www.e-rara.ch**
Die Plattform e-rara.ch macht die in Schweizer Bibliotheken vorhandenen Drucke online verfügbar. Das Spektrum reicht von Büchern über Karten bis zu illustrierten Materialien – von den Anfängen des Buchdrucks bis ins 20. Jahrhundert.

e-rara.ch provides online access to rare books available in Swiss libraries. The holdings extend from books and maps to illustrated material – from the beginnings of printing to the 20th century.

e-rara.ch met en ligne des reproductions numériques d’imprimés conservés dans les bibliothèques de Suisse. L’éventail va des livres aux documents iconographiques en passant par les cartes – des débuts de l’imprimerie jusqu’au 20e siècle.

e-rara.ch mette a disposizione in rete le edizioni antiche conservate nelle biblioteche svizzere. La collezione comprende libri, carte geografiche e materiale illustrato che risalgono agli inizi della tipografia fino ad arrivare al XX secolo.

**Nutzungsbedingungen** Dieses Digitalisat kann kostenfrei heruntergeladen werden. Die Lizenzierungsart und die Nutzungsbedingungen sind individuell zu jedem Dokument in den Titelinformationen angegeben. Für weitere Informationen siehe auch [Link]

**Terms of Use** This digital copy can be downloaded free of charge. The type of licensing and the terms of use are indicated in the title information for each document individually. For further information please refer to the terms of use on [Link]

**Conditions d'utilisation** Ce document numérique peut être téléchargé gratuitement. Son statut juridique et ses conditions d'utilisation sont précisés dans sa notice détaillée. Pour de plus amples informations, voir [Link]

**Condizioni di utilizzo** Questo documento può essere scaricato gratuitamente. Il tipo di licenza e le condizioni di utilizzo sono indicate nella notizia bibliografica del singolo documento. Per ulteriori informazioni vedi anche [Link]

# ΣΙΜΩΝΙ'ΔΟΥ ἸΑΜΒΟΙ.

## Ἐκ τῶν παρὰ τῷ Στοβαίῳ ἐν τῷ ψόγῳ τῶν γυναικῶν.

Χωρὶς γυναικὸς θεὸς ἐποίησεν νόον
Τὰ πρῶτα, τὴν μὲν ἐξ ὑὸς τανύτριχος,
Τῇ πάντ' ἀν' οἶκον βορβόρῳ πεφυρμένα
Ἄκοσμα κεῖται, καὶ κυλινδεῖται χαμαί.
Αὐτὴ δ' ἄλουτος ἄπλυτός τ' ἐν εἵμασιν,
Ἐν κοπρίῃσιν ἡμένη πιαίνεται.
Τὴν δ' ἐξ ἀλιτρῆς θεὸς ἔθηκ' ἀλώπεκος
Γυναῖκα πάντων ἴδριν, οὐδέ μιν κακῶν
Λέληθεν οὐδὲν, οὐδὲ τῶν ἀμεινόνων.
Τὸ μὲν γὰρ αὐτῶν εἶπε πολλάκις κακὸν,
Τὸ δ' ἐσθλόν. ὀργὴν δ' ἄλλοτ' ἀλλοίην ἔχει.
Τὴν δ' ἐκ κυνὸς λιτοργὸν αὐτομήτορα
Ἣ πάντ' ἀκοῦσαι, πάντα δ' εἰδέναι θέλει,
Πάντη δὲ παπταίνουσα καὶ πλανομένη
Λέληκεν, ἢν καὶ μηδέν' ἀνθρώπων ὁρᾷ,
Παύσειε δ' ἄν μιν οὔτ' ἀπειλήσας ἀνὴρ,
Οὐδ' εἰ χολωθεὶς ἐξαράξειεν λίθῳ
Ὀδόντας, οὐδ' ἂν μειλίχως μυθεύμενος,
Οὐδ' εἰ παρὰ ξείνοισιν ἡμένη τύχῃ.
Ἀλλ' ἐμπεδῶς ἄπρηκτον αὐόνην ἔχει.
Τὴν δὲ πλάσαντες γηΐνην Ὀλύμπιοι
Ἔδωκαν ἀνδρὶ πονηρόν. οὔτε γὰρ κακὸν
Οὔτ' ἐσθλὸν οὐδὲν οἶδε τοιαύτη γυνή.
Ἔργον δὲ μοῦνον ἐσθίειν ἐπίσταται.
Χ' ὥταν κακὸν χειμῶνα ποιήσῃ θεὸς,
Ῥιγῶσα δίφρον ἄσσον ἕλκεται πυρός.

# SIMONIDIS IAMBI.

## Ex Stobæi Miſcellaneis de mulierum vituperio, Georg. Buchanano Interprete.

PRimùm ſeorſim à fœmina mentem Deus
Creauit: illam ex hiſpida ſetis ſuæ,
Cui cuncta cœno fœda ſordido domi
Humi ſuppellex turpiter prouoluitur.
Illota & ipſa ueſte turpis, ſqualida
Pingueſcit alto deſidens in ſtercore.
Aliam è ſcelesta uulpe formauit Deus,
Quæ cuncta nouit, nec boni quicquam aut mali
Ignorat. hoc in genere plurimum boni
Ineſt, maliq; plurimum: ac ſæpe temere
Modò huc, modò illuc flectit ira mobilis.
Alia parentem moribus refert canem,
Maledica, cuncta audire, cuncta cernere
Intenta, & acri cuncta figens lumine,
Paßim errat: & ſi neminem conſpexerit
Oblatrat. hanc uir nec minis compeſcere
Queat, nec ira turgidus ſi excuſſerit
Ei ſilice dentes, nec ſuaui blandiens
Sermone, nec ſi ſedeat inter hoſpites:
Sed pertinaci iurgio incaſſum furit.
Hanc fabricarunt terream Dij, inutile
Onus marito, nec boni quicquam aut mali
Quæ norit: unum id docta tantùm, gnauiter
Comeſſe: & algens bruma quum induxit niues
Horrens, ſedile propius ad focum admouet.

Τὴν δ' ἐκ θαλάσσης ἐν φρεσίν γ' ἤδη νοεῖ,
Τὴν μὲν γελᾷ τε καὶ γέγηθεν ἡμέρην.
Ἐπαινέσει μὲν ξεῖνος ἐν δόμοις ἰδὼν,
Οὐκ ἔστιν ἄλλη τῆσδε λωΐων γυνὴ
Ἐν πᾶσιν ἀνθρώποισιν, οὐδὲ καλλίων.
Ἢ δ' οὐκ ἀνεκτὸς οὐδ' ἐν ὀφθαλμοῖς ἰδεῖν
Οὔτ' ἆσσον ἐλθεῖν, ἀλλὰ μαίνεται τότε
Ἄπλητον, ὥσπερ ἀμφὶ τέκνοισιν κύων.
Ἀμείλιχος δὲ πᾶσι, κἀποθυμία
Ἐχθροῖσιν ἶσα καὶ φίλοισι γίγνεται.
Ὥσπερ θάλασσα, πολλάκις μὲν ἀτρεμὴς
Ἕστηκ' ἀπήμων, χάρμα ναύτῃσιν μέγα
Θέρεος ἐν ὥρῃ, πολλάκις δὲ μαίνεται
Βαρυκτύποισι κύμασιν φορευμένη.
Ταύτῃ μάλιστ' ἔοικε τοιαύτη γυνὴ
Ὀργήν. φυὴν δὲ πόντος ἀλλοίην ἔχει.
Τὴν δ' ἔκ τε σποδιῆς καὶ παλιντριβέος ὄνου,
Ἣ σύν τ' ἀνάγκῃ σύν τ' ἐνιπῇσιν μόγις
Ἔρξε γοῦν ἅπαντα καὶ πονήσατο
Ἀρεστά. τόφρα δ' ἐσθίει μὲν ἐν μυχῷ
Προνὺξ προῆμαρ, ἐσθίει δ' ἐπ' ἐσχάρῃ.
Ὁμῶς δὲ καὶ πρὸς ἔργον ἀφροδίσιον
Ἐλθόντ' ἑταῖρον ὁντινοῦν ἐδέξατο.
Τὴν δ' ἐκ γαλῆς, δύστηνον οἰζυρὸν γένος.
Κείνῃ γὰρ οὔ τι καλὸν, οὐδ' ἐφίμερον
Πρόσεστιν, οὐδὲ τερπνὸν, οὐδ' ἐράσμιον.
Εὐνῆς δ' ἀδηνῆς ἐστιν ἀφροδισίης,
Τὸν δ' ἄνδρα τὸν παρόντα ναυσίῃ διδοῖ.
Κλέπτουσα δ' ἔρδει πολλὰ γείτονας κακά,
Ἄθυστα δ' ἱρὰ πολλάκις κατεσθίει.
Τὴν δ' ἵππος ἁβρὴ χαιτέεσσ' ἐγείνατο,

Ἣ δοῦλ'

Nunc animum ad illam uerte quæ nata est mari,
Modò læta totum gaudet ac ridet diem,
Vt hospes illam laudet intuens domi,
Nullamq́; iuret fœminam usquam gentium
Bonis honestisq; hac priorem moribus.
Aliâs nec ulli facilis aspici, neq;
Patiens adiri propius, indomitumq; furit,
Ceu fœta catulis accubans teneris canis,
Insuauis, aspra, tristis, ex æquo hostibus
Eadem atq; amicis: instar instabilis freti,
Quod nunc per æstum leniter stratum iacet
Fluctu quieto, & gaudium nautis parit:
Plerumq́; uasto sæuiens cum murmure
Attollit undas. illius planè refert
Quæ nata ponto fœmina est imaginem,
Ingenio & ira, ceu fretum, mutabili.
E cinere & asina e ercita molestijs
Efficta, tandem uix coacta ui & minis,
In officio erit. desidens in angulo
Noctem diemq́; se cibis ingurgitat,
Focumq́; sese propter etiam ingurgitat.
Ad Veneris autem furta amicum quemlibet
Aduentitantem suscipit promiscuè.
Mustela genuit aliud infelix genus,
Miserumq́;, formæ nulla cui sit gratia,
Nil suaue, nulla illecebra, nil amabile,
Inane amoris atq; mansuetudinis:
Et coniugalis negligens tori, uiro
Præsente, acerbo nauseat fastidio:
Furtisq́; multis noxia est uicinia,
Nec dum immolatis uescitur etiam sacris.
Aliam equa molli genuit exultans iuba.

Ηδοῦλι' ἔργα καὶ δύην περιτρέπει,
Κ' οὔτ' ἂμ μύλης ψαύσειεν, οὔτε κόσκινον
Αρειεν, οὔτε κόπρον ἐξ οἴκου βάλλοι.
Οὔτε πρὸς ἴπνον ἀσβόλην ἀλευμένη
Ιζοιτ', ἀνάγκῃ δ' ἄνδρα ποιεῖται φίλον.
Λοῦται δὲ πάσης ἡμέρης ἀπὸ ῥύπον
Δὶς, ἄλλοτε τρὶς καὶ μύροις ἀλείφεται.
Αἰεὶ δὲ χαίτην ἐκτενισμένην φορεῖ
Βαθεῖαν, ἀνθέμοισιν ἐσκιασμένην.
Καλὸν μὲν οὖν θέαμα τοιαύτη γυνὴ
Αλλοισι, τῷ δ' ἔχοντι γίγνεται κακὸν,
Ἢν μή τις ἢ τύραννος, ἢ σκηπτοῦχος ᾖ,
Οστις τοιούτοις θυμὸν ἀγλαΐζεται.
Τὴν δ' ἐκ πιθήκου· τοῦτο δὴ διακριδὸν
Ζεὺς ἀνδράσιν μέγιστον ὤπασεν κακόν.
Αἴσχιστα μὲν πρόσωπα. τοιαύτη γυνὴ
Εἶσιν δι' ἄστεος πᾶσιν ἀνθρώποις γέλως.
Επ' αὐχένα βραχεῖα κινεῖται μόγις,
Απυγος, αὐτόκωλος. αὖ τάλας ἀνὴρ
Ὅστις κακὸν τοιοῦτον ἀγκαλίζεται.
Δήνεα δὲ πάντα καὶ τρόπους ἐπίσταται,
Ωσπερ πίθηκος, οὐδέ οἱ γέλως μένει.
Οὐδ' ἂν τιν' εὖ ἔρξειεν, ἀλλὰ τοῦθ' ὁρᾷ,
Καὶ τοῦτο πᾶσαν ἡμέρην βουλεύεται,
Οκως τί χ' ὡς μέγιστον ἔρξειεν κακόν.
Τὴν δ' ἐκ μελίσσης, τήν τις εὐτυχεῖ λαβών,
Κείνῃ γὰρ οἴῃ μῶμος οὐ προσιζάνει,
Θάλλει δ' ὑπ' αὐτῆς κἀπαέξεται βίος.
Φίλη δὲ σὺν φιλεῦντι γηράσκει πόσει,
Τεκοῦσα καλὸν κ' οὐνομάκλυτον γένος.
Κἀριπρεπὴς μὲν ἐν γυναιξὶ γίγνεται

Πάσῃσι

Fugitans laboris & operum: hæc seruilium est:
Nec admouebit aut molæ manum, aut cribrum
Tollet, domo nec efferet sordes, neq;
Furno aßidebit, uerita ne fuligine
Contaminetur. se coacta coniugi
Simulat amicam: bis quotidie, interim
Ter abluit se, & spargit unguentis, comam
Densam per humeros fusa, flore uerticem
Vmbrata, pulchrum cæteris spectaculum,
Miserum marito: ni tyrannus quispiam
Sit, rexue, gaudens apparatu huiusmodi.
 Hæc è parente simia est: qua Iupiter
Non tribuit homini pestilentius malum.
Huic singularis oris est deformitas:
Gradiens per urbem risui est paßim omnibus
Ceruice circum uix caput flectit breui,
Depygis, arens osseis crurum artubus.
O' tale monstrum quisquis amplexu fouet
Miserum maritum. callet instar simiæ.
Menteśq; moreśq; omnium: nec soluere
Risu ora curat, nec studet quicquam boni
Facere: sed unum id cogitat totum diem
Secumq; uersat, arte qua tandem scelus
Designet aliquod maxime nefarium.
 Ex ape creatæ coniugis fœlix uir est,
Quæ sola nulli crimini est obnoxia,
Vitamq; longam & floridam facit uiro,
Charoq; chara consenescit coniugi,
Fœcunda pulchræ & splendidæ propaginis
Interq; cunctas fœminas spectabilem

Πάσῃσι, θέη δ' ἀμφιδέδρομεν χάρις.
Οὐδ' ἐν γυναιξὶν ἥδεται καθημένη,
Οκου λέγουσιν ἀφροδισίους λόγους.
Τοίας γυναῖκας ἀνδράσιν χαρίζεται
Ζεὺς τὰς ἀρίστας καὶ πολυφραδεστάτας.
Τὰ δ' ἄλλα φῦλα ταῦτα, μηχανῇ Διὸς
Εστιν τε πάντα καὶ παρ' ἀνδράσιν μένει.
Ζεὺς γὰρ μέγιστον τοῦτ' ἐποίησεν κακὸν
Γυναῖκας, ἣν τι καὶ δοκῶσιν ὠφελεῖν.
Εχοντι τῷ μάλιστα γίνεται κακόν.
Οὐ γάρ κοτ' εὔφρων ἡμέρην διέρχεται
Ἅπασαν ὅστις σὺν γυναικὶ πέλλεται.
Οὐδ' αἶψα λιμὸν οἰκίης ἀπώσεται,
Εχθρὸν συνοικητῆρα δυσμενέα θεῶν.
Ανὴρ δ' ὅταν μάλιστα θυμηδεῖν δοκῇ
Κατ' οἶκον, ἢ θεοῦ μοῖραν ἢ ἀνθρώπου χάριν,
Εὑροῦσα μῶμον ἐς μάχην κορύσσεται.
Οκου γυνὴ γάρ ἐστιν, οὐδ' εἰς οἰκίαν
Ξεῖνον μολόντα προφρόνως δεχοίατο.
Ητις δέ τοι μάλιστα σωφρονεῖν δοκεῖ,
Αὕτη μέγιστα τυγχάνει λωβωμένη,
Κεχηνότος γὰρ ἀνδρός. οἱ δὲ γείτονες
Χαίρουσ' ὁρῶντες καὶ τὸν ὡς ἁμαρτάνει.
Τὴν ἣν δ' ἕκαστος αἰνέσει μεμνημένος
Γυναῖκα, τὴν δὲ θατέρου μωμήσεται.
Ισην δ' ἔχοντες μοῖραν οὐ γινώσκομεν.
Ζεὺς γὰρ μέγιστον τοῦτ' ἐποίησεν κακόν,
Καὶ δεσμὸν ἀμφέθηκεν ἄρρηκτον πέδη.
Ἐξ οὗτε τοὺς μὲν Ἀΐδης ἐδέξατο
Γυναικὸς εἵνεκ' ἀμφιδηριωμένους.

Decore circum gratia ambit undiq;
Diuina: segnes nec frequentat circulos,
Vbi de Venereis fabulantur fœminæ.
Tales mulieres Iupiter longè optimas
Et singulari præditas prudentia
Præbet benignus & fauens mortalibus.
At reliqua genera callido Iouis dolo
Creata cuncta sunt, & apud homines manent.
Has nempe pestem Iupiter grauissimam
Produxit, etiam ut ferre siquid commodi
Videantur, ipsum id sit marito incommodum.
Nec integrum unquam transiget lætus diem
Qui cum muliere degit una: nec famem
Diram à familia contubernalem, deumq;
Hostem repellet facilè quum uir maximè
Animo uidetur lætus, aut fato deûm,
Aut hominis ergò tum reperta criminis
Occasione comparat se prælio.
Nam sicubi ædes uxor ullas incolit,
Nunquam hospes hilarè poterit illic excipi.
Quod si qua frugi existimetur maximè
Longè supra omnes illa damnosissima est,
Nempe oscitante coniuge: at uicinia
Lætatur errore eius. & nuptam ad suam
Animum retorquens quisq; laudat propriam,
Culpat alienam coniugem: cum cæteris
Nec esse parili sorte nos cognoscimus.
Nam maximum istud Iupiter genuit malum
Vinclumq; nodo strinxit insolubili:
Vnde explicauit Pluto morte plurimos
Mulieris ergò conserentes dexteras.

APVD

## Ἐκ τοῦ παρὰ τῷ αὐτῷ, ἐν τῷ περὶ τοῦ βίου, ὅτι βραχὺς καὶ εὐτελής.

Ὦ παῖ, τέλος μὲν Ζεὺς ἔχει βαρύκτυπος
Πάντων ὅσ' ἐστὶ, καὶ τίθησ' ὅπῃ θέλει.
Νόος δ' ἐπ' ἀνθρώποισιν οὐκ ἐφημέροις
Ἔστ', ἀλλ' ἐφημέριοι βροτοὶ δὴ ζώομεν,
Ὅπως ἕκαστον ἐκτελευτήσει θεός.
Ἐλπὶς δὲ πάντας κάλλεσιν θέαν τρέφει,
Ἄπρηκτον ὁρμαίνοντας, οἱ μὲν ἡμέρην
Μένουσιν ἐλθεῖν, οἱ δ' ἐτέων περιτροπάς.
Νέωτα δ' οὐδεὶς ὅστις δοκεῖ βροτῶν
Πλούτῳ τε κ' ἀγαθοῖσιν ἵξεσθαι φίλον.
Φθάνει δ' ἦ τὸν μὲν γῆρας ἄζηλον λαβὸν,
Πρὶν τέρμ' ἵκηται. τοὺς δὲ δύστηνοι νόσοι
Φθείρουσι θνητῶν. τοὺς δ' ἄρει δεδμημένους
Πέμπει μελαίνης ἀΐδης ὑπὸ χθονός.
Οἱ δ' ἐν θαλάσσῃ λαίλαπι κλονεύμενοι
Καὶ κύμασιν πολλοῖσι πορφυρῆς ἁλός,
Θνήσκουσιν, εὖτ' ἂν μὴ δυνήσωνται ζώειν.
Οἱ δ' ἀγχόνην ἅψαντο δυστήνῳ μόρῳ,
Καὐτάγρετοι λείπουσιν ἡλίου φάος.
Οὕτω κακῶν ἄπ' οὐδὲν, ἀλλὰ μυρίαι
Βροτοῖσι κῆρες, κ' ἀνεπίφραστοι δύαι,
Καὶ πήματ' ἐστὶν, εἰ δέ μοι πιθοίατο,
Οὐκ ἂν κακῶν ἐρῶμεν οὐδ' ἐν ἄλγεσι
Κακοῖς ἔχοντες θυμὸν αἰκιζοίμεθα.

## Παρὰ τῷ αὐτῷ ἐν τοῖς ἐπικηδείοις.

Τοῦ μὲν θανόντος οὐκ ἂν ἐνθυμοίμεθα,
Εἴ τι φρονοῖμεν, πλεῖον ἡμέρας μιᾶς.

## Apud eundem in tractatu De breuitate vitæ.

G. B.

*PEnes tonantem est exitus rerum Iouem*
*Fili, arbitratu cuncta qui gerit suo.*
*At mens hominibus nulla momentaneis*
*Est, in diem'q; uiuitur mortalibus,*
*Prout quid'q; numen singulis finiuerit,*
*Diuina blandis interim spes somnijs*
*Fouet uniuersos uana uoluentes diem*
*Expectat iste crastinum, ille plurimas*
*Messes: nec ullus non sibi mortalium*
*Promittit hilarem'q; & opulentum proximum*
*Annum. sed alium tristis ante terminum*
*Mors occupauit: morbus alium lugubris*
*Extinguit: alios Martio in certamine*
*Domitos nigrantes pluto mittit ad domos:*
*Alijs procellis æstuantis æquoris*
*Iactans supremum claudit unda spiritum,*
*Quos uita curis tristis exercet malis*
*Hi lacrimosa ad fata recto nexili*
*Solis relinquunt sponte lumen. sic mali*
*Immune nihil est, mille sed mortalibus*
*Parcæ minantur, ac inexplicabilis*
*Dolor, & calamitas, si mihi tribuant fidem*
*Se nullus ultro cruciet indulgens malis,*
*Animum tenaci nec dolore exerceat.*

## Apud enndem in consolatorijs. G. B.

*De luce caßis cor memoriam non supra*
*Vnum tenebit, si cor habeamus, diem.*

Παρὰ τῷ αὐτῷ, ἐν τῷ ὅτι ἀβέβαιος ἡ τῶν ἀνθρώπων εὐπραξία.

Πάμπαν δ' ἄμωμος οὔτις οὔτ' ἀκήριος.

## ΠΑΡΑ ΚΛΗΜΕΝΤΙ ΤΩ Ἀλεξανδρεῖ, Στρωμ. 5.

Γυναικὸς οὐδὲν χρῆμ' ἀνὴρ ληΐζεται
Ἐσθλῆς ἄμεινον, οὐδὲ ῥίγιον κακῆς.

## ΠΑΡΑ ΤΩ ΣΤΟΒΑΙΩ, ἐν τῷ περὶ τοῦ βίου ὅτι βραχύς.

Οὐδὲν ἐν ἀνθρώποισι μένει χρῆμ' ἔμπεδον αἰεί,
Ἓν δὲ τὸ κάλλιστον Χῖος ἔειπεν ἀνήρ,
Οἵη περ φύλλων γενεὴ, τοιήδε καὶ ἀνδρῶν,
Παυροί μιν θνητῶν οὔασι δεξάμενοι
Στέρνοις ἐγκατέθεντο. πάρεστι γὰρ ἐλπὶς ἑκάστῳ
Ἀνδρῶν, ἥτε νέων στήθεσιν ἐμφύεται.
Θνητῶν δ' ὄφρα τις ἄνθος ἔχει πολυήρατον ἥβης,
Κοῦφον ἔχων θυμὸν πόλλ' ἀτέλεστα νοεῖ.
Οὔτε γὰρ ἐλπίδ' ἔχει γηρασέμεν, οὐδὲ θανεῖσθαι,
Οὐδ' ὑγιὴς ὅταν ᾖ, φροντίδ' ἔχει καμάτου.
Νήπιοι οἷς ταύτῃ κεῖται νόος, οὐδέ τ' ἴσασιν
Ὡς χρόνος ἔσθ' ἥβης καὶ βιότοι' ὀλίγος
Θνητοῖς. ἀλλὰ σὺ ταῦτα μαθὼν βιότου ποτὶ τέρμα
Ψυχῇ τῶν ἀγαθῶν τλῆθι χαριζόμενος.

## AD EVNDEM. DE INCERtitud. felicit. humanæ. G.B.

*Nec ullus expers criminis nec mortis eſt.*

## APVD CLEMEN. ALEXAND. Strom. libro ſexto G. B.

*Muliere nulla res uiro præſtantior*
*Bona euenire, nil mala peius poteſt.*

## APVD STOBAEVM, IN tract. De uitæ breuitate eodem Buchan. interpr.

*Rebus in humanis nulla eſt conſtantia certa:*
*Veridico uates Chius ut ore canit,*
*Non minus eſt folijs hominum gens fluxa caducis.*
*Pauci ubi ceperunt auribus iſta, ſuis*
*Pectoribus fixere, animis namq; indita quondam*
*Spes teneris blandè credula corda fouet.*
*Et dum læta uiret iucundo flore iuuenta,*
*Percuſant animos irrita multa leues.*
*Nec ſenium mortemue pauet: neq; corpore ſano*
*Prouida uenturi cura doloris adeſt.*
*O malè ſtultorum mens credula, qui breuis æui*
*Tempora non nortnt quàm fugitiua uolent.*
*At tu præmonitus nigræ ad confinia mortis*
*Lætus age, & genio gratificare tuo.*